**διστιχία**

Hephaest. 59. 7 sqq. κοινὰ δὲ ὅσα ὑπὸ συστήματος μὲν καταμετρεῖται, αὐτὸ δὲ τὸ σύστημα ἔχει πληρούμενον, οἷά ἐστι τὰ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ Σαπφοῦς· ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας, αὐτὴ δὲ ἡ διστιχία ὁμοία ἐστί.

Schol. in Eur. *Med.* 520 (II, p. 171. 7 sqq. Schwartz) δεινή τις ὀργή] ἡ διστιχία τοῦ χοροῦ ἐστι. κατὰ δὲ τούτους <τοὺς χρόνους> ἤδη τὰ τῶν χορῶν ἠμαύρωτο. τὰ μὲν γὰρ ἀρχαῖα <δράματα> διὰ τῶν χορῶν ἐπετελεῖτο.

Schol. in Aristoph. *Ach.* 364b (p. 58. 16 sq. Wilson) vet καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ δύο. ὑφ᾽ ὃ διπλῆ, διότι ἐπιφέρεται ἐπὶ τῇ διστιχίᾳ στίχους ἰαμβικοὺς ιθ′ ΕΓ.

Schol. rec. in Aristoph. *nub.* 457b. 14 sqq. (p. 74 Koster) Tr$^{2}$ ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί· ἔθος γάρ ἐστι μετὰ τὰς τοιαύτας περιόδους δίστιχον ἐπιτιθέναι. ἐπὶ τῷ τέλει τῆς μὲν ἐπεκθέσεως δύο συνήθως διπλαῖ ἔξω νενευκυῖαι, τῆς δὲ διστιχίας παράγραφος. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα διὰ τὸ διάφορα δέχεσθαι μέτρα.

Schol. rec. in Aristoph. *nub.* 1345b. 8 sqq. (p. 183 Koster) Tr$^{2}$ ἐν ἐκθέσει δὲ στίχοι β′ ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς· ἔθος γάρ ἐστι προτιθέναι τῆς διπλῆς διστιχίαν μετὰ τὴν περίοδον τῆς κορωνίδος ἢ τῆς ᾠδῆς· ἐκλέγονται δὲ ὡς ἐπιτοπλεῖστον ἐν τοῖς τοιούτοις τὰ τετράμετρα ἢ τὰ ἀναπαιστικὰ ἢ τὰ ἰαμβικὰ διὰ τὸ ῥᾳδίως ἐμπίπτειν ἐν τούτοις τὸν τοιοῦτον ῥυθμόν.

Schol. rec. in Aristoph. *pac.* 337a. 1 sqq. (p. 55 Holwerda) vet ἴστε πω σαφῶς] διπλῆ· ἕπεται γὰρ μέλος †ἀποπρο{***}ρους,† οὗ ἡ μὲν προῳδὸς ἐστιν ἐκ διστιχίας ὁμοίως ἐκκειμένης καὶ ἐν εἰσθέσει κώλων ζ′ τροχαικῶν †μετὰ διμέτρων ἀκαταλήκτων† ε′, καταληκτικὸν δὲ τὸ τελευταῖον, μονόμετρον δὲ τὸ παρατέλευτον.

Schol. A in Hephaest. 171. 11 sqq. οἷον τὸ μέλος καὶ τὸ ἐπίρρημα ἑξῆς κείμενα ἀλλήλοις ἐστὶν ἀνόμοια, ἀλλ᾽ ἐπαγομένου αὐτοῖς τοῦ τε ἀντιστρέφοντος τῷ μέλει καὶ τοῦ ἀντεπιρρήματος, γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές, τῶν μὲν περικοπῶν ἀντιστρεφουσῶν ἀλλήλαις, τῶν δὲ μερῶν αὐτῶν ἀνομοίων ὄντων ἀμφοτέρας ἀλλήλοις· ὥστε τὰ ἐν ταῖς παραβάσεσι τῶν κωμῳδιῶν κατὰ διστιχίαν ἀλλήλοις ἀνταποδιδόμενα, ἤγουν κατὰ τὸ αὐτὸ μέτρον, δακτυλικὸν ἢ ἄλλο ὅμοιον, σπανιώτατά ἐστιν. [*R.S.*]